οδεύων καὶ ἅμα προῆγεν εἰς τὸ πεδίον διὰ τὸ ἔχειν αὐτὸν πλῆθος
ἵππου καὶ πεποιθέναι ἐπ᾽ αὐτῇ. 78 καὶ κατεδίωξεν ὀπίσω αὐτοῦ εἰς 78
Ἄζωτον, καὶ συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον. 79 καὶ ἀπέλιπεν 79
Απολλώνιος χιλίαν ἵππον κρυπτῶς κατόπισθεν αὐτῶν. 80 καὶ ἔγνω 80
Ιωναθαν ὅτι ἔστιν ἔνεδρον κατόπισθεν αὐτοῦ, καὶ ἐκύκλωσαν αὐ-
τοῦ τὴν παρεμβολὴν καὶ ἐξετίναξαν τὰς σχίζας εἰς τὸν λαὸν ἐκ
πρωίθεν ἕως δείλης· 81 ὁ δὲ λαὸς εἱστήκει, καθὼς ἐπέταξεν Ιωνα- 81
θαν, καὶ ἐκοπίασαν οἱ ἵπποι αὐτῶν. 82 καὶ εἵλκυσεν Σιμων τὴν 82
δύναμιν αὐτοῦ καὶ συνῆψεν πρὸς τὴν φάλαγγα, ἡ γὰρ ἵππος ἐξ-
ελύθη, καὶ συνετρίβησαν ὑπ᾽ αὐτοῦ καὶ ἔφυγον, 83 καὶ ἡ ἵππος 83
ἐσκορπίσθη ἐν τῷ πεδίῳ. καὶ ἔφυγον εἰς Ἄζωτον καὶ εἰσῆλθον
εἰς Βηθδαγων τὸ εἰδώλιον αὐτῶν τοῦ σωθῆναι. 84 καὶ ἐνεπύρισεν 84
Ιωναθαν τὴν Ἄζωτον καὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῆς καὶ ἔλαβεν
τὰ σκῦλα αὐτῶν καὶ τὸ ἱερὸν Δαγων καὶ τοὺς συμφυγόντας εἰς
αὐτὸ ἐνεπύρισεν πυρί. 85 καὶ ἐγένοντο οἱ πεπτωκότες μαχαίρᾳ σὺν 85
τοῖς ἐμπυρισθεῖσιν εἰς ἄνδρας ὀκτακισχιλίους. 86 καὶ ἀπῆρεν ἐκεῖθεν 86
Ιωναθαν καὶ παρενέβαλεν ἐπὶ Ἀσκαλῶνα, καὶ ἐξῆλθον οἱ ἐκ τῆς
πόλεως εἰς συνάντησιν αὐτῷ ἐν δόξῃ μεγάλῃ. 87 καὶ ἐπέστρεψεν 87
Ιωναθαν εἰς Ιερουσαλημ σὺν τοῖς παρ᾽ αὐτοῦ ἔχοντες σκῦλα πολλά.
88 καὶ ἐγένετο ὡς ἤκουσεν Ἀλέξανδρος ὁ βασιλεὺς τοὺς λόγους 88
τούτους, καὶ προσέθετο ἔτι δοξάσαι τὸν Ιωναθαν· 89 καὶ ἀπέστειλεν 89
αὐτῷ πόρπην χρυσῆν, ὡς ἔθος ἐστὶν δίδοσθαι τοῖς συγγενέσιν
τῶν βασιλέων, καὶ ἔδωκεν αὐτῷ τὴν Ακκαρων καὶ πάντα τὰ ὅρια
αὐτῆς εἰς κληροδοσίαν.
1 Καὶ βασιλεὺς Αἰγύπτου ἤθροισεν δυνάμεις πολλὰς ὡς ἡ ἄμμος 11
ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης καὶ πλοῖα πολλὰ καὶ ἐζήτησε
κατακρατῆσαι τῆς βασιλείας Ἀλεξάνδρου δόλῳ καὶ προσθεῖναι αὐ-
τὴν τῇ βασιλείᾳ αὐτοῦ. 2 καὶ ἐξῆλθεν εἰς Συρίαν λόγοις εἰρηνικοῖς, 2
καὶ ἤνοιγον αὐτῷ οἱ ἀπὸ τῶν πόλεων καὶ συνήντων αὐτῷ, ὅτι
ἐντολὴ ἦν Ἀλεξάνδρου τοῦ βασιλέως συναντᾶν αὐτῷ διὰ τὸ
πενθερὸν αὐτοῦ εἶναι· 3 ὡς δὲ εἰσεπορεύετο εἰς τὰς πόλεις Πτολε- 3
μαῖος, ἀπέτασσε τὰς δυνάμεις φρουρὰν ἐν ἑκάστῃ πόλει. 4 ὡς δὲ 4

77 δια] pr. και Apau. | fin. επ αυτην A || 78 εις αζωτον] pr. εις πολεμον SV†: ex seq. | εις πολεμον *L*La] pr. οπισω αυτου SA: ex praec. repet. || 82 συνηψεν] -ψαν S† | φαλαγγα: cf. 6 35 | υπ] απ A || 83 εφυγον] -γεν S† || 84 τους συμφυγ. εις αυτο] το ιερον αυτης A† | συνφυτουντουντας(sic) S*†, συνφευγοντας Sc† | πυρι] pr. εν Apau. || 85 εγενοντο] -νετο S*† || 86 εκειθεν] ενθεν S† || 87 εις ιερουσ. > A† || 88 ετι SVLa†] > rel. || 89 συγγενεσιν] -νευσι(ν) ASc*L*: cf. Thack. p. 153 n. 2 | ακκαρων] ν > S*pau.

11 1 βασιλευς] pr. ο A | η $2^{0}$ > S*† | κατακρατησαι] και κατεκρατησε S*† || 2 λογοις ειρηνικοις] λεγων λογους -κους S† | των πολεων] της -ως S† || 3 πτολεμαιος] -αιδος ASc | φρουραν] -ρ(ε)ιν ScVpau.